Ἐκ τοῦτο τὰ τοιαῦτα πρὸς τὴν

ΟΡΚΟΣ

Ὄμνυμι Ἀπόλλωνα ἰητρὸν καὶ Ἀσκληπιόν καὶ Ὑγείαν καὶ Πανάκειαν καὶ θεοὺς πάντας τε καὶ πάσας ἵστορας ποιεύμενος ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε

Ἡγήσασθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην ἴσα γενέτῃσιν ἐμοῖσι καὶ βίου κοινώσεσθαι καὶ χρεῶν χρηίζοντι μετάδοσιν ποιήσεσθαι

Καὶ γένος τὸ ἐξ ωὐτέου ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄρρεσι καὶ διδάξειν τὴν τέχνην ταύτην ἢν χρηίζωσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς

*Π*αραγγελίης τε καὶ ἀκροήσιος καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος καὶ μαθηταῖσι συγγεγραμμένοισί τε καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ ἄλλῳ δὲ οὐδενί

Διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν

Οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς θανάσιμον οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε Ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω

Ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν

Οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε

Ἐς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης καὶ φθορίης τῆς τε ἄλλης καὶ ἀφροδισίων ἔργων ἐπί τε γυναικείων σωμάτων καὶ ἀνδρῴων ἐλευθέρων τε καὶ δούλων

Ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω, ἢ ἀκούσω ἢ καὶ ἄνευ θεραπηίης κατὰ βίον ἀνθρώπων ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι ἄρρητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα

Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι καὶ μὴ ξυγχέοντι εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις ἐς τὸν αἰεὶ χρόνον παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι, τἀναντία τουτων

GIURAMENTO

Io Giuro, per Apollo medico, per Asclepio, per Igea e Panacea e per gli Dei tutti e le Dee, assurti a testimoni, di adempiere esattamente, secondo mia forza ed intelligenza, a questo giuramento ed a questo impegno scritto.

Pari ai miei genitori stimerò chi mi insegnò quest'Arte;
sarò suo compagno di vita e se privo del bisognevole gliene farò parte.

I suoi figli considererò come fratelli di sangue e se anelassero apprendere quest'Arte io la insegnerò senza mercede o patto.

Del precetto, delle istruzioni segrete e di tutta la restante dottrina farò parte ai miei figliuoli e a quelli del mio maestro e ai discepoli iscritti e giurati nella Legge Medica e non ad altro alcuno.

Delle regole di vitto sceglierò per il bene dei malati secondo mio potere e giudizio, mi asterrò da qualsivoglia nocumento ed ingiuria.

A veruno che ne chieda, giammai porgerò medicina mortifera, né proporrò tal consiglio; egualmente non darò a donna alcun pessario abortivo.

Pura e Pia conserverò la mia Vita e la mia Arte.

Non inciderò chi soffra il mal di pietra e lascerò codesto compito agli esperti di siffatta pratica.

In qualunque casa entri, andrò per l'utile degli infermi astenendomi da ogni iniquità volontaria e danno e da ogni azione corruttrice sui corpi di donne e uomini, di liberi e schiavi.

Quanto, nella cura od anche in assenza di essa, vedrò od udrò che, pertinente alla vita degli uomini, non occorra d'essere narrato fuori ad altri, lo tacerò reputandolo un arcano.

Se questo giuramento osserverò puntualmente e non infrangerò, possa io godere della Vita e dell'Arte, onorato presso tutti gli uomini e sempre in ogni tempo; se ne fossi violatore e spergiuro, il contrario di ciò mi avvenga.